ἀπέδρα δὲ ὥσπερ σκιὰ καὶ οὐ μὴ στῇ.
3 οὐχὶ καὶ τούτου λόγον ἐποιήσω
καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου;
4 τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ᾽ οὐθείς.
5 ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς,
ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρὰ σοί,
εἰς χρόνον ἔθου, καὶ οὐ μὴ ὑπερβῇ.
6 ἀπόστα ἀπ᾽ αὐτοῦ, ἵνα ἡσυχάσῃ
καὶ εὐδοκήσῃ τὸν βίον ὥσπερ ὁ μισθωτός.
7 ἔστιν γὰρ δένδρῳ ἐλπίς·
ἐὰν γὰρ ἐκκοπῇ, ἔτι ἐπανθήσει,
καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλίπῃ·
8 ἐὰν γὰρ γηράσῃ ἐν γῇ ἡ ῥίζα αὐτοῦ,
ἐν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ,
9 ἀπὸ ὀσμῆς ὕδατος ἀνθήσει,
ποιήσει δὲ θερισμὸν ὥσπερ νεόφυτον.
10 ἀνὴρ δὲ τελευτήσας ᾤχετο,
πεσὼν δὲ βροτὸς οὐκέτι ἔστιν.
11 χρόνῳ γὰρ σπανίζεται θάλασσα,
ποταμὸς δὲ ἐρημωθεὶς ἐξηράνθη·
12 ἄνθρωπος δὲ κοιμηθεὶς οὐ μὴ ἀναστῇ,
ἕως ἂν ὁ οὐρανὸς οὐ μὴ συρραφῇ·
※καὶ οὐκ ἐξυπνισθήσονται ἐξ ὕπνου αὐτῶν.↙
13 εἰ γὰρ ὄφελον ἐν ᾅδῃ με ἐφύλαξας,
ἔκρυψας δέ με, ἕως ἂν παύσηταί σου ἡ ὀργὴ
καὶ τάξῃ μοι χρόνον, ἐν ᾧ μνείαν μου ποιήσῃ.
14 ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται
συντελέσας ἡμέρας τοῦ βίου αὐτοῦ·
ὑπομενῶ, ἕως ἂν πάλιν γένωμαι.
15 εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι,
τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ ἀποποιοῦ.
16 ἠρίθμησας δέ μου τὰ ἐπιτηδεύματα,

$3^2$ εισελθ./εν κριμ.] tr. A† | ενωπιον] επι A† || 4 καθ. εσται] tr. A† | αλλ ουθεις] ουδε εις A† || $5^1$ μια ημερα] μιας -ρας γενηται A† | $5^2$ παρα σοι rau.] παρ αυτω A, παρ αυτου BS | $5^3$ χρονον] + γαρ A† || $6^1$ απ αυτου] απ εμου A† | ησυχασω A | $6^2$ ευδοκησω μου τον β. A† | ο > A† || $7^2$ γαρ] δε και A† | ετι] παλιν ASc | επανθ.] επ > A† || $8^2$ εν] εαν A | πετραις A† || $9^2$ ποιησει δε] και ποι. A†: cf. 3 12 || $10^2$ πεσων δε] και πεσων A†: cf. 3 12 || $11^2$] ποταμοι δε ερημωθεντες ξηρανθησονται A† || $12^2$] pr. και ου μη εξεγερθη A† | ου μη συρρ.] παλαιωθη A† || $13^1$ φυλαξ⟨ε⟩ις A† | $13^2$ κρυψεις A† | εως] ε > S*† || $14^2$ ημερας] pr. τας Sc pl. | $14^3$ υπομενω] + σαι (= σε) A† | αν > B || $15^1$ καλεσεις] + με A†